# THEOPHRASTI CHARACTERUM
## CAPUT XXXI

*ad papyri nuper reperti Plagwitzensis fidem*
*edidit Societas Philologica Lipsiensis*

### *ΦΙΛΟΛΟΓΙΑΣ ΛΑ*

*Ἔστιν ἀμέλει ἡ φιλολογία ὑπερβολή τις ἐπιθυμίας γραμμάτων καὶ πραγμάτων παλαιῶν, ὁ δὲ φιλόλογος τοιοῦτός τις, οἷος τὰ βιβλία καὶ τοὺς παπύρους καὶ τὰς ἐπιγραφὰς καὶ ἄλλα τοιαῦτα μόνον διὰ τὸ ἀρχαῖα εἶναι ὑπερτιμᾶν καὶ ἱερὰ νομίζειν, καὶ χαίρειν ἐπὶ τῷ εὑρίσκεσθαι αὐτὰ οὐ σῶα ἀλλὰ διεφθαρμένα πολλοῖς ἁμαρτήμασι καὶ διαλείμμασι, τοιαῦτα εὐτρεπίζειν καὶ διορθοῦν ἔργον ἑαυτοῦ φάσκων ἥδιστον καὶ ἀξιολογώτατον· καὶ εὑρεθέντων που ἀρχαίων γραμμάτων ἐὰν μὲν ᾖ ἐν χάρταις γεγραμμένα ἥδεσθαι, ἐὰν δ᾿ ἐν περγαμηνοῖς ὀρχεῖσθαι, ἐὰν δ᾿ ἐν παπύροις ἀνολολύζειν χαρᾷ, ἐὰν δ᾿ ἐν λίθῳ παιανίζειν, ἐὰν δ᾿ ἐν χαλκῷ καὶ προσκυνεῖν· καὶ τῶν καθ᾿ ἑαυτὸν τεχνιτῶν μηδὲν θαυμάζειν, τῶν Ὁμήρου ἐπῶν τόδε ἀεὶ θρυλῶν· Οἷοι νῦν βροτοί εἰσιν, ὅταν δ᾿ ἴδῃ ἤ τι ἄγαλμα τῶν ἀρίνων καὶ κολοβῶν καὶ ἠκρωτηριασμένων ἢ παλαιᾶς χύτρας συντριβείσης ὄστρακον πυγὴν μειρακίου ἐγγεγραμμένον, ἡδονῇ ἀναπηδᾶν καὶ ἀναβοᾶν· Τουτὶ ἄρα ὡς χρηστόν ἐστιν· καὶ τὰς βιβλιοθήκας πλείω χρόνον οἰκεῖν ἢ τὴν οἰκίαν καὶ βιβλίων ἐμπληρωθέντα ἔχειν τὸν θάλαμον, τὸν ἀνδρῶνα, τὸ δωμάτιον· καὶ ἀπαγορεύειν τὴν θεράπαιναν μὴ καλλῦναι μηδὲ διακοσμῆσαι τράπεζαν τὴν γραφικήν· καὶ παιδίων παμπόλλων γεγονότων αὐτῷ ἐντυχών τινι ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ γιγνώσκειν ἀλλὰ ἀνερέσθαι φιλανθρώπως· Τέκνον, τί κλαίεις; πόθι τοι δόμος ἠδὲ τοκῆες; δεινὸς δὲ καὶ τὰ παιδία πέντε ἐτῶν ἀναγκάζειν ἔπη ἐκμανθάνειν, τὴν δὲ γαμετὴν τὰ Ἑλληνικὰ γράμματα· καὶ τοὺς τῶν Ἑλλήνων καὶ Ῥωμαίων παλαιοὺς νόμους ἀκριβέστερον γνῶναι ἢ τοὺς τῆς ἑαυτοῦ πατρίδος· καὶ τὰ ἱμάτια περιβάλλεσθαι ἀρχαιότροπα, τὰς δὲ ἀναξυρίδας μείους φορεῖν τῶν σκελῶν· καὶ ἀεί τι διδάσκειν, τῷ δὲ μὴ πεπεισμένῳ ὀργίζεσθαι· καὶ τοῖς ὁμοτέχνοις δεινῶς μαχόμενος διατελεῖν, ἃ αὐτὸς ἔφη, ταῦτα μόνα ὀρθῶς ἔχειν τῶν ἄλλων ἅμα βοώντων μεγάλῃ φωνῇ διισχυριζόμενος· καὶ τοιούτοις λόγοις χρήσασθαι· Οὐ πιστεύω καὶ Ταῦτα ἄλογα καὶ Τἀναντία σαφῶς πρῴην ἀπέδειξα καὶ Ἆρ᾿ οὔπω ἀνέγνωκας ἃ περὶ τούτων νεωστὶ συνέγραψα; καὶ ἀποδημεῖν μάλιστα εἰς Ἀθήνας καὶ Ῥώμην καὶ ἐπαινεῖν τὸν ἐκεῖ οὐρανὸν καὶ γῆν καὶ θάλατταν καὶ τοὺς ἐκεῖ ἄνδρας καὶ γυναῖκας καὶ κορίδια καὶ πάντων τούτων εἰκόνας ἀεὶ περιφερόμενος θαυμάζειν· καὶ ὠνούμενος νομίσματα ἀδόκιμα ἢ κίβδηλα καὶ ὄστρακα καὶ λιθίδια καὶ ληκύθια καὶ λήρους τὰ ἐφόδια ἀναλώσας λαθεῖν· καὶ οἴκαδε ἐπανελθὼν ὑπισχνεῖσθαι τῇ γαμετῇ* (am Rande: *καὶ τῇ πενθερᾷ*) *ἄξεσθαι αὐτὴν μεθ᾿ ἑαυτοῦ ἐς ὕστερον.*